**20** (5 Md.) Suda ι 591 Adl.

*Ἵπυς· . . . οὗτος πρῶτος ἔγραψε παρῳδίαν καὶ χωλίαμβον καὶ ἄλλα.*

**21** (44 Md.) Choerob. ad Hephaest. 3 (*Π. ποδῶν*), 1 p. 214, 8–20 Consbr.

*Ἴαμβος . . . εἴρηται ἤτοι ἀπὸ Ἰάμβης τῆς Κελεοῦ θεραπαίνης, ἥτις τὴν Δήμητρα λυπουμένην ἠνάγκασε γελάσαι γέλοιόν τι εἰποῦσα, τῷ ῥυθμῷ τούτου τοῦ ποδὸς αὐτομάτως χρησαμένη, ἢ ἀπὸ Ἰάμβης τινὸς ἑτέρας, γραός, ᾗ Ἱππῶναξ ὁ ἰαμβοποιὸς παρὰ θάλασσαν ἔρια πλυνούσῃ συντυχὼν ἤκουσε τῆς σκάφης ἐφαψάμενος, ἐφ' ἧς ἔπλυνεν ἡ γραῦς, 'ἄνθρωπ', ἄπελθε, τὴν σκάφην ἀνατρέπεις'. καὶ συλλαβὼν τὸ ῥηθὲν οὕτως ὠνόμασε τὸ μέτρον. ἄλλοι δὲ περὶ τοῦ χωλιάμβου τὴν ἱστορίαν ταύτην ἀναφέρουσι, γράφοντες τὸ τέλος τοῦ στίχου 'τὴν σκάφην ἀνατρέψεις'.*

**21a** Choerob. ad Hephaest. 5 (*Π. ἰαμβικοῦ*), 4 p. 229, 10–15 Consbr.

*Ἱππώνακτος δ' ἔλεγον αὐτὸ εἶναι κατὰ τὴν εἰρημένην ἀνωτέρω χρῆσιν τῆς γραὸς καὶ σκάφης· 'ἄνθρωπ', ἄπελθε, τὴν σκάφην ἀνατρέψεις'. τοῦτο δὲ καὶ τῆς γραὸς λέγεται εἶναι τῆς ἄνω εἰρημένης.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416228747/18 UNIVERSITÄT LEIPZIG